# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dma-aa


*Βίων ὁ Ἀβδηρίτης* · Bion of Abdera

## Testimonies

*Μαρτυρίαι*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Μαθηματικά* Mathematics
**Format:** *Συναγωγή* Collection

1 DIOG. IV 58 γεγόνασι δὲ Βίωνες δέκα· ... τέταρτος Δημοκρίτειος καὶ μαθηματικός, Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι· οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν.

2 STRAB. I p. 29 τοῦ δὲ δύο εἶναι τοὺς ἀνέμους ποιοῦνται μάρτυρας Θρασυάλκην [c. 35, 2] τε καὶ τὸν ποιητὴν αὐτὸν 〈τῶι〉 τὸν μὲν Ἀργέστην τῶι Νότωι προσνέμειν ʻἀργέσταο Νότοιοʻ [L 306 Q 334], τὸν δὲ Ζέφυρον τῶι Βορέαι ʻΒορέης καὶ Ζέφυρος, τώ τε Θρήικηθεν ἄητονʻ (I 5]. φησὶ δὲ Ποσειδώνιος [FGrHist. 87 F 74 II 268] μηδένα οὕτως παραδεδωκέναι τοὺς ἀνέμους τῶν γνωρίμων περὶ ταῦτα οἷον Ἀριστοτέλη, Τιμοσθένη, Βίωνα τὸν ἀστρολόγον, ἀλλὰ τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν καικίαν, τὸν δὲ τούτωι κατὰ διάμετρον ἐναντίον λίβα ἀπὸ δύσεως ὄντα χειμερινῆς· πάλιν δὲ τὸν μὲν ἀπὸ χειμερινῆς ἀνατολῆς εὖρον, τὸν δ’ ἐναντίον ἀργέστην· τοὺς δὲ μέσους ἀπηλιώτην καὶ ζέφυρον.